καὶ πρότερον δὴ ταῦτ' εἴρηται. ἀλλ' οὐδὲ φίλησίς ἐστιν· οὐ γὰρ ἔχει διάτασιν, οὐδ' ὄρεξιν· τῇ φιλήσει δὲ ταῦτ' ἀκολουθεῖ. καὶ ἡ μὲν φίλησις, μετὰ συνηθείας· ἡ δ' εὔνοια, καὶ ἐκ προσπαίου, οἷον καὶ περὶ τοὺς ἀγωνιστὰς συμβαίνει· εὖνοι γὰρ αὐτοῖς γίνονται, καὶ συνθέλουσι· συμπράξαιεν δ' ἂν οὐδέν· ὅπερ γὰρ εἴπομεν, προσπαίως εὖνοι γίνονται καὶ ἐπιπολαίως στέργουσιν. ἔοικε δὴ ἀρχὴ φιλίας εἶναι, ὥσπερ τοῦ ἐρᾶν, ἡ διὰ τῆς ὄψεως ἡδονή· μὴ γὰρ προησθεὶς τῇ ἰδέᾳ, οὐδεὶς ἐρᾷ· ὁ δὲ χαίρων τῷ εἴδει, οὐδὲν μᾶλλον ἐρᾷ, ἀλλ' ὅταν καὶ ἀπόντα ποθῇ, καὶ τῆς παρουσίας ἐπιθυμεῖ. οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τε εἶναι, μὴ εὔνους γενομένους· οἱ δ' εὖνοι οὐδὲν μᾶλλον φιλοῦσι· βούλονται γὰρ μόνον τἀγαθά, οἷς εἰσὶν εὖνοι· συμπράξαιεν δ' οὐδὲν ἄν, οὐδ' ὀχληθεῖεν ὑπὲρ αὐτῶν. διὸ μεταφέρων φαίη τις ἂν αὐτὴν ἀργὴν εἶναι φιλίαν· χρονιζομένην δὲ καὶ εἰς συνήθειαν ἀφικνουμένην, γίνεσθαι φιλίαν, οὐ τὴν διὰ τὸ χρήσιμον, οὐδὲ τὴν διὰ τὸ ἡδύ· οὐδὲ γὰρ ἡ εὔνοια ἐπὶ τούτοις γίνεται· ὁ μὲν γὰρ εὐεργετηθείς, ἀνθ' ὧν πέπονθεν, ἀπονέμει τὴν εὔνοιαν, τὰ δίκαια δρῶν· ὁ δὲ βουλόμενός τινα εὐπραγεῖν, ἐλπίδα ἔχων εὐπορίας δι' ἐκείνου, οὐκ ἔοικεν εὔνους ἐκείνῳ εἶναι, ἀλλὰ μᾶλλον ἑαυτῷ· καθάπερ οὐδὲ φίλος, εἰ θεραπεύει αὐτόν, διά τινα χρῆσιν· ὅλως δ' ἡ εὔνοια δι' ἀρετὴν καὶ ἐπιείκειάν τινα γίνεται, ὅταν τῳ φανῇ καλός τις, ἢ ἀνδρεῖος, ἤ τι τοιοῦτον, καθάπερ καὶ ἐπὶ τῶν ἀγωνιστῶν εἴπομεν.

Κεφάλαιον ϛ'.

Φιλικὸν δὲ καὶ ἡ ὁμόνοια φαίνεται· διόπερ οὐκ ἔστιν ὁμοδοξία. τοῦτο μὲν γὰρ καὶ ἀγνοοῦσιν ἀλλήλους ὑπάρξειεν ἄν· οὐδὲ τοὺς περὶ ὁτουοῦν ὁμογνωμονοῦντας ὁμονοεῖν φασιν, οἷον τοὺς περὶ τῶν οὐρανίων. οὐ γὰρ φιλικὸν τὸ περὶ τούτων ὁμονοεῖν· ἀλλὰ τὰς πόλεις ὁμονοεῖν φασιν, ὅταν περὶ τῶν συμφερόντων ὁμογνωμονῶσι, καὶ ταὐτὰ προαιρῶνται, καὶ πράττωσι τὰ κοινῇ δόξαντα. περὶ τὰ πρακτὰ δὴ ὁμονοοῦσι, καὶ τούτων περὶ τὰ ἐν μεγέθει, καὶ ἐνδεχόμενα ἀμφοῖν ὑπάρχειν, ἢ πᾶσιν· οἷον αἱ πόλεις, ὅταν πᾶσι δοκῇ τὰς ἀρχὰς αἱρετὰς εἶναι, ἢ συμμαχεῖν Λακεδαιμονίοις, ἢ ἄρχειν Πιττακόν, ὅτι καὶ αὐτὸς ἤθελεν.

A & latens esse possit: amicitia non possit. Et prius etiam dicta hæc sunt. Sed neque amatio est: neque enim intentionem, neque appetitionem habet, quæ amationem consequuntur. atque amatio quidem cum consuetudine, beneuolentia derepente etiam fit. Id quod etiam erga certatores contingit. beneuoli siquidem eis fiunt, simúlque cum eis volunt: nihil tamen cooperarentur. sicut enim diximus, de repentè beneuoli fiunt, & leuiter diligunt. B Videtur igitur principium amicitiæ esse, non secus atque amoris ea voluptas quæ ex aspectu percipitur. nemo enim amore capitur, nisi prius specie fuerit oblectatus. qui verò forma oblectatur, nihilo magis amore capitur: sed cum & absentes desiderat, & præsentes cupit. Ita verò etiam amici esse non possunt, nisi beneuoli prius fuerint, beneuoli autem nihilo magis diligunt. volunt enim tantum bona iis quibus sunt beneuoli, nihil tamen C cooperarentur, nullámque pro ipsis molestiam susciperent. Quocirca translatione vtens aliquis esse ipsam principium amicitiæ diceret: quæ cùm inueterata fuerit, & in consuetudinem deuenerit, amicitia euadat: non ea quidem quæ ex vtilitate, aut voluptate conciliatur: neque enim ob hęc beneuolentia existit. Nam qui beneficio est affectus, pro iis quæ accepit, beneuolentiam D retribuit, iustè se gerens. Qui verò aliquem prosperè agere vult spe vtilitatis consequendæ ex ea re: non illi, sed sibi potius beneuolus est: quemadmodum neq. amicus, si commodi alicuius causa illi obsequitur. Omnino autem beneuolētia ob virtutem & probitatem quandam existit, cùm pulcher aliquis, aut fortis, aut tale aliquid visus cuipiam fuerit, sicut de certatoribus iam diximus.

## CAPVT VI.

E Concordia præterea spectare quoque ad amicitiam videtur: vnde opinionis consensio minimè est: hoc enim iis etiam qui mutuò sese ignorant, posset inesse. neque eos qui qualibet de re consentiunt, concordes esse inquiunt: verbi causa, si de cœlestibus consentiant: concordes enim de his esse, ad amicitiam non attinet. sed ciuitates cōcordes esse dicunt, cùm de iis F quæ conferunt, consentiunt, & eadem eligunt, agúntque ea quæ publicè visa fuerint. Circa agenda igitur concordes sunt, atque ea quæ in magnitudine consistunt, & vtrisque, vel omnibus inesse possunt. vt ciuitates, cùm omnibus visum fuerit magistratus electione esse creandos: vel ineundam cū Lacedæmoniis societatem: vel regnare Pittacū, quādo etiam ipse voluerit